ἐστί. καὶ εἰς τοσοῦτον ἀναγκαία, ὥστε μὴ χωρὶς αὐτῆς γενέσθαι τὸ σύνθετον. τούτοις καὶ ἕτερα πλεῖω παρομαρτεῖ διαστέλλοντα τοῦ εἴδους τὴν ὕλην. τὸ μὲν γὰρ εἶδος οἱονεὶ διαφορά ἐστι συστέλλουσα εἰς ὡρισμένην εἶναι τὴν ὕλην, ἡ δὲ ὕλη ὥσπερ γένος ὑπὸ τῶν εἰδῶν συνίσαται, καὶ τὸ μὲν εἶδος δύναται κεχωρισμένον ὑπάρχειν τῆς ὕλης, καθάπερ αἱ νοεραὶ οὐσίαι, ἡ δὲ ὕλη ἄνευ εἴδους, οὐκ ἂν εὑρεθείη ποτέ. καὶ τὸ μὲν εἶδος τῆς τάξεως τοῦ παντὸς αἴτιον, καὶ τῆς τῶν πραγμάτων διακρίσεως. ἡ δὲ ὕλη τῆς συγχύσεως καὶ κοινωνίας. ἔτι δὲ ἡ ὕλη διὰ τὰς εἰρημένας ἰδιότητας αἰτία τε γήρως ἐστὶ καὶ ἀσθενείας, καὶ πλήθους, καὶ ἀπειρίας, καὶ φθορᾶς, καὶ κακίας, καὶ ἀσχημοσύνης, καὶ τεράτων, καὶ τύχης, καὶ ταυτομάτου, καὶ λήθης, καὶ ἀμνημοσύνης, καίτοι ταῦτα πάντα συμβέβηκε τῇ ὕλῃ διὰ τὴν στέρησιν. ὅθεν Ἀριστοτέλης πα. μορίῳ τοῦ α. τῶν Φυσικῶν, τὴν ὕλην αἰσχρὸν φησὶ καὶ θῆλυ, καὶ κακὸν κατὰ συμβεβηκὸς ἀλλὰ μὴ καθ᾽ αὑτό.

## Πότερον ἡ ὕλη μία ἐστί;

Ἀγνοουμένης ὡς ἡμῖν εἴρηται τῆς ὕλης, καὶ τὰ περὶ αὐτὴν ἀμφιβαλλόμενα συμβαίνει μὴ ῥαδίως εἶναι λύσιμα. διὸ δεῖ τῇ παρολκῇ τοῦ λόγου καὶ παρὰ τὸ εἰκὸς ἐσθ᾽ ὅτε ταῦτα διαξαινῶσαι, ζητεῖται τοιγαροῦν πότερον ἡ ὕλη μία ἐστὶ τῶν φύσει συνεστώτων ἁπάντων. περὶ οὗ δόξαι πολλαὶ περιφέρονται ἐν τῷ περιπάτῳ. τούτου γὰρ ἔξω τις ἂν εἴποι τὰς διαφορὰς τῶν πάλαι, ὧν οἱ μὲν Ἀμφιδημόκριτον καὶ Λεύκιππον τὰς ἀπείρους ἀτόμους ὕλην ἐνόμιζον. ὁ δ᾽ Ἀναξαγόρας τὰ ἀναρίθμητα ὁμοιομερῆ ἐν τῷ χάει συγκεχυμένα ὄντα πρὸ τῆς τοῦ νοὸς διακοσμήσεως, πλείους δὲ τὰς ὕλας ἐτίθει καὶ Ἐμπεδοκλῆς, καίτοι πεπερασμένας τὰ στοιχεῖα πάντων ὕλην εἶναι πρεσβεύων. δύο δὲ Παρμενίδης γῆν τε καὶ πῦρ ὕλην εἶναι θεσπίσας. ἄλλοι δὲ πλείους μίαν ἐδόξαζον, ὧν ὁ μὲν Ἡσίοδος τὴν γῆν ἐτίθει, Θαλῆς δὲ τὸ ὕδωρ, Διογένης δὲ τὸν ἀέρα, Ἡράκλειτος δὲ τὸ πῦρ, φύσιν δέ τινα μεταξὺ Ἀναξίμανδρος, ὧν αἱ θέσεις ἀποχρόντως ἀνεσκευάσθησαν ἀνωτέρω, ὥστε ὁ λόγος διαξιφεῖ περὶ τοὺς ἐν τῷ Περιπάτῳ διαφερομένους. ἔδει δὲ ἴσως ἐνταῦθα καὶ περὶ τῆς ὕλης τῶν αἰθερίων σωμάτων ὅπως διαφέρει τῆς τῶν ὑπὸ Σελήνην ἀνακρῖναι, ἀλλὰ περὶ τούτων ἅλις εἴρηται ἐν τοῖς περὶ Οὐρανοῦ. Πρόκειται τοίνυν εἰς διάσκεψιν ἡ τῶν ὑπὸ Σελήνην ὕλη, ἥτις οὐ μία δοκεῖ τοῖς ἐπιπολαιότερον σκεπτομένοις τὰ πράγματα, ἄλλῳ γὰρ εἴδει, ἄλλη ὕλη φησὶν ὁ Φιλόσοφος, ἐν τῷ β. τῶν Φυσικῶν, μορίῳ κϛ'. εἰσὶ δὲ πολλὰ τὰ εἴδη, ἄρα καὶ αἱ ὕλαι. δεύ-

τερον

ΕΡΓΑΣΤΗΡΙΟ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ... ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ... ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

τερον ἐν τῇ φύσει τὰ ποιοῦντα πολλὰ, ἑκάστῳ δὲ κινοῦντι τὸ πάσχον ἀντιτίθεται, καὶ τοῦτο ἄρα πολλαπλάσιον. ἔτι δὲ τὰ ἐναντία εἰς τὰ ἐναντία δρᾷ, εἰσὶ δὲ τὰ ποιοῦντα τῶν ἐναντίων πολλὰ, ἄρα καὶ τὰ πάσχοντα. Τρίτον, εἰ μία εἴη αὖ ἡ ὕλη, εἴη αὖ ἅπαντα τὰ φύσιν ἔχοντα τῷ ἀριθμῷ ἓν, εἴρηται γὰρ τῷ Φιλοσόφῳ ἐν τῷ ε΄. τῆς α΄. Φιλοσοφίας μορίῳ ιβ΄. ἓν εἶναι τῷ ἀριθμῷ οὐ μία ἐστὶν ἡ ὕλη. Τέταρτον, ἡ ὕλη πλήθους ἐστὶν ἀρχὴ καὶ πολλαπλασιασμοῦ, τὸ δὲ ἓν οὐ δυνατόν ἐστιν ἀρχὴν εἶναι πλήθους. τὸ γὰρ ἐξ ἑνὸς ἡ ἓν καὶ τοῦτο ἕν ἐστιν. ὅτι δὲ πλήθους ἀρχὴ ἡ ὕλη διδάσκει ὁ Φιλόσοφος, ιβ΄. τῆς α΄. Φιλοσοφίας, μορίῳ μθ΄. καὶ α΄. περὶ Οὐρανοῦ, μορίῳ γα΄. ἔνθα φησὶν ὅτι τὰ ἔχοντα ὕλην (τοῦτο γὰρ δηλοῖ, τὸ ὧν ἐστι μορφή τις καὶ εἶδος) ἤτοι ἐστὶν, ἢ ἐνδέχεται πλείω γενέσθαι. Πέμπτον, τὸ τῷ ἀριθμῷ ἓν οὐκ ἐνδέχεται πλείοσιν ἐνυπάρχειν οὐ μόνον εἴδει, ἀλλὰ καὶ γένει διεστῶσιν ἀλλήλων. ἡ δὲ ὕλη τοιαύτη ἐστὶν, ἄρα οὐκ ἔστι μία. Τελευταῖον εἰ μία ἦν ἡ ὕλη, ἐνδέχοιτ᾽ αὖ ἐκ τοῦ τυχόντος γενέσθαι τὸ τυχὸν, τοῦτο δὲ ἀδύνατον ἐδίδαξε πολλαχοῦ ὁ Φιλόσοφος, καὶ ἐν τῷ α΄. φυσικῶν ἀντιφερόμενος Ἀναξαγόρᾳ. τούτοις οὖν τοῖς λόγοις εἰκότως αὖ τις ὑποπτεύσαι δύναιτο μὴ μίαν εἶναι τὴν ὕλην τῶν ὑπὸ Σελήνην ἁπάντων. Ἀλλ᾽ ὁ Φιλόσοφος σαφῶς τὴν ἐναντίαν προβάλλεται δόξαν. ἐν μὲν τῇ νς΄. περισκοπῇ τοῦ α΄. τῶν
„ Φυσικῶν, πρὸς μὲν τὸ πάσχειν ἱκανὸν τὸ ἓν λέγων, καὶ εἰ δύο ἦ-
„ σαν ἐξ ἀνάγκης καὶ τὰς ἐναντιώσεις δύο ὑπάρχειν ὁ βέλτιόν ἐστιν.
„ ἐξ ἀλλήλων γὰρ τῶν δύο ἐναντίων, δυναμένων γενέσθαι τῶν πραγ-
„ μάτων, περίεργος αὖ εἴη ἡ ἑτέρα τῶν ἐναντιώσεων. ἐν δὲ τῷ α΄.
„ περὶ γενέσεως καὶ φθορᾶς τεμμαχίῳ μγ΄. ἔνθα Διογένην ἐπαινεῖ λέγοντα. ὅτι εἰ μὴ ἦν ἐξ ἑνὸς ἅπαντα οὐκ αὖ ἦν τὸ ποιεῖν καὶ πάσχειν ὑπ᾽ ἀλλήλων, μίαν εἶναι τὴν ὕλην τῶν εἰς ἄλληλα δρώντων καὶ πασχόντων προτίθησιν. ἔτι δὲ ἓν εἶναι φησὶν ἀλλαχοῦ τὸ ὑποκείμενον τῶν εἰς ἄλληλα μεταβαλλόντων, τὰ δὲ ὑπὸ σελήνην ἅπαντα τίς οὐκ οἶδε μεταβάλλοντα ἀμοιβαδὸν καὶ εἰς ἄλληλα μεταποιούμενα; Πρὸς τούτοις ἐπειδὴ τῷ δυνάμει εἶναι οὐσιοῦσθαι τὴν ὕλην ἔγνωσθαι τίς ἐρεῖ πλείους εἶναι τὰς ὕλας τῶν ὑπὸ Σελήνην διαφερούσας τῷ εἴδει μὴ ἐγκλειομένης τῇ τῆς ὕλης φύσει εἰδικῆς τινος διαφορᾶς, ἀφ᾽ ἧς τοῖς οὖσιν ἡ διάκρισις πηγάζεται. τελευταῖον ἐπειδὴ μία ἐναντίωσις ἐστὶν ἱκανὴ, ἓν ἔσται καὶ τὸ ὑποκείμενον διὰ τῆς ἀποβολῆς τε, καὶ ἀποδοχῆς τῶν ἀντικειμένων ὅρων συνιστῶν τὰ γιγνόμενα. τοῦτο δὲ πρόσθες ὅτι ἐπειδὴ τὸ α΄. ποιοῦν ἕν ἐστιν, ἀνάγκη καὶ τὸ πάσχον ἓν εἶναι, οἷς ἀπατώμενοι οἱ βέβηλοι Μανιχαῖοι καὶ βουλόμενοι συγκλῶσαι τὰ ἀσύγκλωστα, Φιλοσοφίαν ὁμοῦ καὶ ὀρθοδοξίαν συνέχεαν, ἀρχὰς τιθέμενοι δύω, τὸ πο-



ΙΩΑΝΝΙΝΑ 2006

νηρὸν, καὶ τὸ καλὸν, ἤτοι τὸν Θεὸν καὶ τὴν ὕλην, καὶ τοῦ θεοῤῥήτορος καταγελῶντες Μωσέως, λόγῳ Θεοῦ τὰ πάντα γεννῶντος ἐκ τοῦ μηδενός. τὴν γὰρ κτίσιν βδελυρὰν ἐνόμιζον, ἅτε δὴ τῆς πονηρᾶς μετέχουσαν ἀρχῆς. ἀλλὰ τούτων ἐγὼ τεθαύμακα πῶς σοφίας ἀντιποιούμενοι τὰ ὑπερφυᾶ τῶν κατὰ φύσιν οὐ διέκρινον, ἀλλὰ κυκῶντες τὰ πάνυ διεστῶτα οὔτε ὀρθῶς ἐπίστευον, οὔτε καλῶς ἐφιλοσόφουν. παραινῶ τοίνυν ὑμᾶς ἀσύγχυτα διατηρεῖν τὰ ἱερὰ δόγματα ἐπὶ τῷ θεμελίῳ τῶν γραφικῶν ῥήσεων ἱδρυμένα. ὡσαύτως δὲ καὶ τὴν θύραθεν Φιλοσοφίαν, ὡς ἀπὸ Φυσικῶν ὁρμῶσαν ἀρχῶν, τιμᾶν μὲν ὡς ἀγαθῶν οὖσαν ἀκριβῆ διδάσκαλον, οὐ μὴν ἐν τοσούτῳ λόγῳ τιθέναι, ὥστε κεκωφῶσθαι τοῖς ἱεροῖς λογίοις, μάλιστα δὲ ἐπειδὴ ἡ μὲν ἱερὰ καὶ θεσπεσία πίστις τὸν ὑπερφυῆ τῆς γενέσεως τρόπον διδάσκει, ἡ δὲ Φιλοσοφία τὸν κατὰ φύσιν, φανερὸν δὲ ὅτι τὰ φύσει ποιοῦντα τὴν σφῶν ἐνέργειαν οὐ προβάλλουσι μὴ προϋφισταμένου τοῦ πάσχοντος, τίς γὰρ τῶν ὀρθῶς φρονούντων τὴν ἄφατον ἐκ μηδενὸς προαγωγὴν τοῦ παντὸς φυσικοῖς αἰτίοις ἀνατιθέναι τολμῴη; μὴ τοίνυν ἀπὸ τοῦ δὴ οὔτε τῶν φυσικῶς ἐπιχειρούντων γίγνεσθε κατήγοροι, εἰ μὴ βούλοιντο τὸ ἡμέτερον ἀνατρέψαι σέβας, τηνικαῦτα ῥαδίως ἐξελέγχεσθαι δυναμένων ὡς ἅτε ἐκ γένους εἰς γένος ποιούντων μετάβασιν, καὶ ἀφελῶς ἀντιτείνειν πειρωμένων τοῖς οὐ πειθομένοις λόγων ὀχυρότητι, ἀλλὰ τὴν χρηστὴν ἐν Πνεύματι δεδουλωμένοις δουλείαν, καὶ ταῖς ῥήσεσι μᾶλλον ταῖς θεοπέμπτοις, ἢ ὁπωσδηποτοῦν λόγῳ πιστεύουσιν, ἀλλ᾽ ἔτι μηδεὶς ὑμῶν τῆς ἁπλότητος καταγελάσῃ τῶν ἀκηλίδωτον διατηρούντων τὴν πίστιν, καὶ καμπτόντων τὸ φρόνημα τοῖς καθ᾽ ἡμᾶς ἀποῤῥήτοις μυστηρίοις. εἰ μόνον ὁμολογοῖεν μὴ πάντως ἀποδειχθῆναι δυνάμενα φυσικοῖς τεχνολογήμασι, καὶ γὰρ εἰ ταῦτα τῇ κατὰ φύσιν ἐφόδῳ ἦν αὖ ἡμῖν θηράσιμα, τί αὖ ἔχρην τοσούτους ἑκάστοτε ἀποπεμφθῆναι παρὰ Θεοῦ τῷ κόσμῳ Προφήτας, ὥστε καὶ τούτων ἥκιστα διαρκεσάντων τῇ τῶν ἐθνῶν κατηχήσει τὸν αὐτὸν τοῦ Θεοῦ λόγον τῇ θεανδρικῇ πολιτείᾳ παρόντα τὸ τῶν ἀνθρώπων γένος ἐκπαιδεῦσαι τὰ θεῖα; πῶς δὲ καὶ ἀπ᾽ αὐτῆς τῆς τοῦ κόσμου καταβολῆς τοσούτων ἐν Φιλοσοφίᾳ εὐδοκιμησάντων ἀνδρῶν, καὶ ἐπ᾽ ἄκρον ἐληλακότων πάσης μαθήσεως οὐδεὶς οὐδὲ σκιωδῶς ἐν ὑπονοίᾳ τῶν ἱερῶν τῆς πίστεως ἄρθρων ἐγένετο; εὔθετοι σαφῶς οἶμαι ὅσοι τῶν εὐσεβῶν οὐχ ὡς κατάσκοποι φοιτῶσιν ἐπὶ Φιλοσοφίαν, ἀλλὰ συστάσεις ποιησόμενοι τῶν ἱερῶν δογμάτων αἱρέσεσι περιπεπτώκασι, καὶ δυσσέβειαν ἐνόσησαν. ἄτοπον οὖν ἐστί τό, τε ψευδοθεολογεῖν ἐν ταῖς Φιλοσόφοις θεωρίαις, καὶ κακοφιλοσοφεῖν ἐν τῇ πίστει, ὧν ἀμφοτέρων ἀπέχεσθαι δεῖ τοὺς βουλομένους ἐν μὲν Φιλοσοφίᾳ ἐπίσημον ἐν ἅπαντι τῷ αἰῶνι ὄνομα περιβαλέσθαι σφᾶς

αὐτούς.

ΙΩΑΝΝΙΝΑ 2006

αὐτοῖς. ἐπὶ δὲ εὐσεβείᾳ θαυμαστὰς ἔχειν τοὺς ὀρθῶς φρονοῦντας, καὶ διαμένειν ἀθανάτους μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν. ταῦτα δὲ πάρεργον μὲν εἴρηται, καί τοι πλείοσιν ἀπὸ σκοποῦ δόξει.

## Ἔκθεσις τῆς ἀληθείας.

ΕΙ'ς διάκρισιν οὖν τῶν εἰρημένων δεῖ πρῶτον ἀκριβῶς εἰδέναι ποσαχῶς τὸ ἓν λέγεται. ἓν γὰρ ἢ τῷ ἀριθμῷ ἐστὶν, ἢ τῷ εἴδει, ἢ τῷ γένει, ἢ ὡς ε. τῶν Μεταφυσικῶν εἴρηται τῇ ἀναλογίᾳ, τὸ δὲ ἀριθμῷ ἓν τριχῶς λέγεται ἢ κατὰ ἀπόφασιν, ὡς μὴ τῷ ἀριθμῷ πολλαπλασιασθὲν, ἢ κατὰ στέρησιν ὡς τῆς Ἀριθμητικῆς ἀμοιροῦν διαφορᾶς, ἢ κατὰ κατάφασιν, ὃ καὶ διχῶς πάλιν λέγεται, ἢ ὡς ὁλοτελές τι καὶ αὐθύπαρκτον οἷον εἰσὶν αἱ πρῶται οὐσίαι, ἢ ὡς μέρος ἓν ὑπάρχον ὡς καθ' ἑαυτὸ ἀντιδιεσταλμένον τῶν πολυπλασιασθεισῶν τῷ ἀριθμῷ δυναμένων καὶ διακριθῆναι ταῖς ἀτομικαῖς διαφοραῖς ἀπαράλλακτον σωζόντων τὴν εἰδικὴν τελειότητα, ὃ καὶ διχῶς ἐστὶν, ἢ ὡς ἡ ἐντελέχεια καὶ τὸ εἶδος, ἢ ὡς τὸ δυνάμει ὂν καθάπερ φησὶν Ἀβεῤῥώης ἐν τοῖς Μεταφυσικοῖς, τούτων οὕτως ἐκτεθέντων κείσθω πρῶτον, ἡ ὕλη οὐκ ἔστιν ἓν τῷ ἀριθμῷ ὡς ὁλοτελές τι, οἷον εἰσὶν αἱ πρῶται οὐσίαι. τοῦτον γὰρ τὸν τρόπον θεωρουμένη οὔτε μία ἐστὶν, οὔτε πολλα„πλάσιος, οὕτως ἔδοξεν Ἀριστοτέλει α. Φυσικῶν μορίῳ ξθ'. λέγον„τι. Μία μὲν ἡ ἀρχή ἐστιν αὕτη. οὐχ οὕτω μία οὖσα, οὐδ' οὕτως ἓν „ὡς τὸ τόδε τι, μία δὲ ἧ ὁ λόγος. κείσθω β'. ἡ ὕλη καθ' ἑαυτὴν θεωρουμένη, ἀσχέτως δηλονότι, καὶ κατὰ τὰς ἰδιότητας ἁπλῶς τοῦ ὄντος μία ἐστὶ καταφάσει, καὶ καθ' ἑαυτὸ, τὸ γὰρ ὂν καὶ ἓν ἀντιστρέφουσιν. ὅστις οὖν μὴ μίαν ἐρεῖ τὴν ὕλην τουτονὶ τὸν τρόπον, οὔτε ὂν καλέσει ταύτην, ἢ ὄντε καὶ μίαν ὁμολογήσει. τρίτον, ἡ ὕλη κατὰ σχέσιν θεωρουμένη πρὸς τὰς κατηγορίας, εἰρήσθω μία κατ' ἀπόφασιν. ὡς μηδὲ τόδε, μηδὲ τοσόνδε, μηδὲ ποιόνδε οὖσα, ἀλλ' ἀμοιροῦσα τῆς πληθύος τῶν κατηγοριῶν. δ'. δ' ἐνδέχεται καὶ μία κατὰ στέρησιν ἡ ὕλη λέγεσθαι, ὡς διὰ τὴν ἐν αὐτῇ στέρησιν τῆς εἰδικῆς ἀμοιροῦσα διακρίσεως. ἐξ ἧς καὶ αἱ ἀτομικαὶ ἀναβλαστάνουσι διαφοραί. τουτονὶ δὲ τὸν τρόπον οὕτως ἐστὶν ἡ ὕλη μία, ὡς τὸ γένος, ὡς εἴρηται τῷ Φιλοσόφῳ ζ'. τεμμαχίῳ τοῦ β'. τῆς α. Φιλοσοφίας. κείσθω δὲ καὶ πέμπτον θεωρουμένη ἡ ὕλη μετὰ τῶν ἐπεισάκτων αὐτῇ διαθέσεων τοσαυταχῶς τῷ ἀριθμῷ πολλαπλασιάζεται, ὅσα ἂν εἰσὶ τὰ εἴδη εἰς ἃ διατεθεῖσθαι λέγεται. κἀπειδὴ πρώτως εἰς τὰ τῶν στοιχείων ἀναφέρεται εἴδη τετάρτῳ περὶ Οὐρανοῦ μορίῳ λζ'. εἴρη„ται τῷ Φιλοσόφῳ ὅτι ἀνάγκη τοσαύτας εἶναι τὰς ὕλας, ὅσαπερ καὶ

τὰ

Ε.Υ.Δ της Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

τὰ στοιχεῖα, πρώτῳ δὲ περὶ γενέσεως καὶ φθορᾶς, μορίῳ κθʹ. μίαν εἶναι τὴν ὕλην τῷ ἀριθμῷ, τῷ λόγῳ δὲ μὴ μίαν, ὡς τοσαυταχῶς πολλαπλασιαζομένην ὅσα εἰσὶ καὶ τὰ τῶν στοιχείων εἴδη. ἔκτον δὲ ἡ ὕλη ὡς πεποικιλμένη τοῖς εἴδεσι θεωρηθεῖσα πολλαπλάσιος γίνεται. ὥστε τοσαύτας εἶναι τὰς ὕλας ὅσα εἰσὶ τὰ εἴδη. ὅθεν καὶ Ἀριστοτέλης δευτέρῳ Φυσικῶν, μορίῳ κϛʹ. ἄλλου εἴδους ἄλλην ὕλην εἶναί φησιν. ἔστι τοίνυν ἡ ὕλη μία καθ᾽ ἑαυτήν, κατὰ συμβεβηκὸς δὲ πολλαπλάσιος διατεμνομένη τοῖς εἴδεσι. τελευταῖον ἡ ὕλη μία ἐστὶ τῇ ἀναλογίᾳ, καὶ γὰρ ἥ, τε τῶν αἰθερίων σωμάτων ὕλη, καὶ ἡ τῶν ὑπὸ ἀναλόγως μία ἐστί, διὸ δὴ πρώτῳ Φυσικῶν, μορίῳ ξθʹ. λέγεται γιγνώσκεσθαι κατὰ ἀναλογίαν. Τοσαυταχῶς οὖν μιᾶς λεγομένης τῆς ὕλης εἰκότως ἠπόρηταί τισι πότερον ἡ ὕλη κατ᾽ ἐπίνοιαν μία ἐστίν, ἢ καὶ τῆς ψυχῆς ἔξω ἐν ἑαυτῇ νοουμένη. ὁ μὲν γὰρ Ἀβερρώης μίαν ἐντὸς τῆς ψυχῆς εἶναί φησι τὴν ὕλην ὁμοίως τῷ γένει, ὃ ἕν ἐστι κατὰ τὴν ταυτότητα τῆς αὐτοῦ φύσεως ἐν τοῖς πολλοῖς ὑπάρχον. ἀλλ᾽ ὅμως ἐπειδὴ πολλαχῶς τὸ ἓν εἴρηται, καὶ πρὸς τὸ ζητούμενον οὐχ ἑνὶ τρόπῳ δυνατὸν ἀπαντῆσαι, ὡς γὰρ ἡ ὕλη ὂν ἐστὶν ἀντιστρέφοντος ἀεὶ τοῦ ἑνὸς καὶ τοῦ ὄντος ἐμφανῶς ἐστὶ μία, οὐδὲ μιᾶς ἐπινοίας τοῦ νοὸς γενομένης, ὡς δὲ μία κατὰ στέρησιν ἢ ἀπόφασιν. ἐπειδὴ οὕτως λέγεται κατὰ διαφόρους σχέσεις ὑπὸ τοῦ ἡμετέρου νοὸς θεωρουμένη ὀρθῶς μία λέγεται ἐντὸς τῆς ἡμετέρας ψυχῆς, ἵνα τοῖς αὐτοῖς χρήσωμαι τοῦ Ἀβερρώους λόγοις.

## Λύσις τῶν ἀντικειμένων λόγων.

ΚΑίτοι ἐκ τῶν εἰρημένων ῥᾳδίως ἂν ἕκαστος καθ᾽ ἑαυτὸν ἀπαντῆσαι δύναιτο τοῖς ἀντιπίπτουσι λόγοις, ὅμως κἂν γοῦν τὸν τρόπον τῆς λύσεως ὑμῖν προθῶμεν συντόμως, ἐπειδὴ γὰρ εἴρηται ἄλλου εἴδους ἄλλη ὕλη, ῥητέον ὅτι ἡ προσεχὴς ὕλη πολλαπλάσιός ἐστιν, ἡ δὲ πρώτη μία ἁπλῶς νοουμένη δίχα τῶν ἐπεισάκτων αὐτῇ διαθέσεων. τὸ δὲ ὅτι οὐχ ἱκανὸν ἓν εἶναι τὸ πάσχον πολλῶν ὄντων τῶν ποιούντων, διαιρέσεως δεῖται, ὡς γὰρ τὰ προσεχῆ ποιοῦντα πολλά, οὕτω καὶ τὰ πάσχοντα. τὸ δὲ πρῶτον ποιοῦν ἕν, ὁμοίως δὲ καὶ τὸ πάσχον. πρόσθες δὲ ὅτι οὐκ ἄτοπον πολλὰ εἶναι τὰ πρῶτα ποιοῦντα, οὐ μὴν δὲ τὸ πάσχον. Ποιητικὸν γὰρ ἕκαστον ἐστὶ διὰ τὸ οἰκεῖον εἶδος. τοῦ δὲ εἴδους ἴδιον ἐστὶ τὸ χωρίζειν. ἀλλ᾽ οὐδ᾽ ἕπεται μιᾶς οὔσης τῆς ὕλης καὶ τὰ πάντα ἓν εἶναι, ὡς οὔσης ἀρχῆς τῆς κατὰ τὸν ἀριθμὸν διακρίσεως τῆς ὕλης. καὶ γὰρ ὁπηνίκα φαμὲν ἓν εἶναι τῷ ἀριθμῷ ὂν

ἔστιν

ΙΩΑΝΝΙΝΑ 2006

ἐστιν ἡ ὕλη μία, οὐ τὴν κοινὴν ὑπολαμβανόμενοι, ἀλλὰ τὴν προσεχῆ τὴν ἤδη ταῖς ἀτομικαῖς διαφοραῖς κοσμηθεῖσαν. ὅτι δὲ οὐ δυνατὸν τὸ ἓν ἀρχὴν εἶναι πλήθους, καλῶς μὲν λέγεται ἐπὶ τοῦ ἑνὸς ἐνεργείᾳ τῷ ἀριθμῷ, ἀδιαιρέτου τε ὄντος καὶ ἀδιαστάτου, οὐ μήν γε ἐπὶ τοῦ δυνάμει ὄντος καὶ τοῦ ἑνὸς κατὰ στέρησιν, ἢ ἄλλως πως ὡς τὸ γένος. οὐ μήν, ἀλλ᾽ οὐδ᾽ ἐκ τούτου συνάγεται τὸ ἐκ τοῦ τυχόντος γίνεσθαι τὸ τυχόν, ἕκαστον γὰρ ἐκ τοῦ προσεχοῦς αὐτοῦ ὑποκειμένου γίγνεται, τοῦτο δὲ πολλαπλάσιον εἴρηται. Ἐκ δὲ τῶν εἰρημένων ταῦτα πορισώμεθα, ὅτι ἡ ὕλη μία τε ἐνδέχεται λέγεσθαι καὶ πολλαπλάσιος, ἔτι δὲ οὔτε μία οὔτε πολλαπλάσιος, ἔτι δὲ μία μὲν τῷ γένει ὡς εἴρηται τῷ Φιλοσόφῳ, μορίῳ ζ΄. τοῦ β΄. τῶν Μεταφυσικῶν, ἡ γὰρ ὕλη πῆ μὲν ἐξομοιοῦται τῷ γένει, πῆ δὲ διενήνοχεν ὡς ὁ Ἀλέξανδρος, δευτέρῳ Φυσικῶν ζητημάτων κεφ. κϛ΄. τελευταῖον δὲ ὅτι ἡ ὕλη μία μὲν ἐστι πολλαχῶς.

## Πότερον ἡ ὕλη ἀγαθόν ἐστιν ἢ κακόν.

Ἐπειδὴ ἀντιστρέφει τῷ ὄντι ἡ ὕλη, καὶ οὐσία οὖσα ἐπιστάσεως ἄξιον τῷ τρόπῳ αἰσχρὸν λέγεται, καὶ κακόν. καὶ γὰρ ὁ Πλωτῖνος καὶ οἱ Μανιχαῖοι πάντες τὴν ὕλην οὐ διακρίναντες τῆς στερήσεως κακοποιὸν ὀνομάζουσι καὶ καθ᾽ ἑαυτὴν αἰσχράν, οὗτοι γοῦν ὡσεὶ δύω τινὰς ἡγεμόνας τιθέασι τῶν κακῶν καὶ τῶν ἀγαθῶν, τὸν Θεόν, καὶ τὴν ὕλην. καὶ μαχομένων φασὶ τούτων ὅτε μὲν περιγενομένου τοῦ θείου ῥέειν εἰς ἡμᾶς τὰ καλά, ὅτε δὲ νικώσης τῆς ὕλης πιέζεσθαι κακοῖς τὸ πᾶν, τὴν δὲ μάχην ταύτην συναΐδιον εἶναι τῷ κόσμῳ, ἣν λῦσαι πειρᾶται φιλόπονος ἐν τοῖς κατὰ Πρόκλου, καὶ Σιμπλίκιος, κατ᾽ Ἐπικτήτου, κεφ. λβ΄. ἣν γὰρ κοινὴ καὶ τοῖς Στωϊκοῖς ἡ δόξα. ἔχει δὲ καὶ εὔλογόν τι τὸ δόγμα τοῦτο, ᾧ πεισθέντες οἱ τοιοῦτοι πολλοῖς ἀτόποις περιπεπτώκασι, καὶ γὰρ τὰ πολλὰ τῶν κακῶν ἢ καὶ πάντα φοιτῶσιν εἰς ἡμᾶς διά τε τὴν ἐν ὕλῃ στέρησιν, καὶ τὸ ταύτης ἄστατον, καὶ εὐμετάβλητον, ὡς οὐ διαιωνιζούσης ὑπὸ τὸ ἐνὸν εἶδος, ὅθεν γενέσεις τεράτων, γήρως ἀρχή, φθορᾶς ἀφορμαί, καὶ πᾶσα ἀταξία, καὶ κακία τοῖς πράγμασι παρακολουθεῖ, πλείω δὲ τὰ τούτων ἄτοπα. τίς γὰρ ἀντικειμένην ἐρεῖ τῷ θείῳ τὴν ὕλην τῆς ἐκείνου φύσεως ἐξηρτημένην τοῦ παντός, ὥστε ἐν ἀρχῆς ἐστι λόγῳ τοιαύτης, ὡς μήτε ὅμοιον ἴσχειν, μήτε ἐναντίον. ἔτι δὲ ἡ ὕλη αἰσχρόν ἐστι κατὰ συμβεβηκὸς καὶ τῶν κακῶν κατὰ συμβεβηκὸς αἴτιον. Εἰς ἀκριβῆ δὲ κατάληψιν τῆς προκειμένης ζητήσεως, εἰδέναι δεῖ ὅτι τὸ καλὸν τριχῶς λέγεται, Μεταφυσι-

κῶς,

κῶς, Φυσικῶς τε, καὶ Ἠθικῶς. Πρόσθες εἰ βούλει καὶ τὸ θεῖον κατὰ τοὺς Θεολόγους, οἷον ἐστὶν ἡ ἀμώμητος πίστις, ἡ ἐλπὶς, καὶ ἀγάπη. τοιγαροῦν ἡ ὕλη πολλαχῶς ἐνδέχεται κακὴ λέγεσθαι, ἢ ὡς μηδὲν ὂν τῶν Ἠθικῶν ἀγαθῶν, οἷαι εἰσὶν αἱ ἀρεταί. ἢ ὡς μηδὲν τῶν ἐν τῇ φύσει λεγομένων ἀγαθῶν, οἷον ἐστὶ τὸ εἶδος καὶ ἡ τελειότης ἑκάστου, διὸ δὴ λέγεται τὸ εἶδος ἁπλῶς ἀγαθὸν, ἡ δὲ ὕλη κατὰ συμβεβηκὸς, ὡς ἡνωμένη τῷ εἴδει, κεχωρισμένη δὲ πῶς λέγοιτ᾽ ἂν ἀγαθὴ ὡς ἀναγκαία εἰς τὴν τοῦ εἴδους γένεσιν; εἰ δὲ περὶ τοῦ Μεταφυσικοῦ λεγομένου καλοῦ ὁ λόγος, τίς οὐκ οἶδε τὴν ὕλην καλὸν εἶναι ὡς ἀντιστρέφουσαν τῷ ὄντι; καίτοι ἐν τῇ τῶν ὄντων σειρᾷ τῆς ἐσχάτης ἔλαχε χώρας, ὥσπερ ἡ ἐντελέχεια τῆς πρώτης. Ἐνσταίη δ᾽ αὖτις ὅτι τὸ ἀγαθὸν ἀεί ἐστιν ὡς τὸ οὗ ἕνεκα, τέλος δὲ ἑκάστου ἡ οἰκεία αὐτοῦ τελειότης καὶ τὸ εἶδος, ἄρα ἡ ὕλη οὐκ ἔστιν ἀγαθόν. ἀλλ᾽ εἰδέναι δεῖ, ὅτι ἀγαθὸν μὲν πρώτως τὸ οὗ ἕνεκα, μετὰ δὲ τοῦτο καὶ τὰ ὧν οὐκ ἄνευ αὐτὸ ἐνδέχεται προσεῖναι, διὸ δὴ καὶ τὰ εἰς τὸ τέλος ἅπαντα συνεισφέροντα ἀγαθὰ νομίζεται. ἔστιν οὖν ἡ ὕλη τὸν τρόπον τοῦτον ἀγαθὸν, ὡς ἧς ἄνευ ἀδύνατόν ἐστι μετασχεῖν τῶν εἰδῶν. εἴπωμεν οὖν περὶ τῆς ὕλης, ὅτι ἁπλῶς θεωρουμένη, ὡς ὂν, ἀγαθόν ἐστι. κατὰ δὲ ἀπόφασιν τῶν δέκα κατηγοριῶν μὴ ἀγαθὸν, οὔτε ὡς τὸ οὗ ἕνεκα καὶ τὸ εἶδος, οὔτε ὡς τὰ λυσιτελοῦντα εἰς ὑποδοχὴν αὐτῶν, μετὰ δὲ τῆς στερήσεως αἰσχρόν ἐστι κατὰ συμβεβηκὸς, μετὰ δὲ τοῦ εἴδους ἀγαθὸν κατὰ συμβεβηκὸς, ἁπλῶς δὲ ὡς δυνάμει ὂν θεωρουμένη τῆς τῶν ὧν οὐκ ἄνευ αἰτιῶν ἀγαθότητος οὐ μοιρεῖν εἰκότως ἂν λέγοιτο. τοιγαροῦν ἐπειδὴ ἡ ὕλη ἐστι μὲν ὡς ὄν. ἐστι δὲ ὡς μὴ ὂν, ἣ μὲν ὂν, ἀρχή ἐστι τῆς γενέσεως τῶν ὄντων, καὶ μέρος τῆς συνθέσεως τούτων, καὶ ἀγαθῶν ὡς ἔοικε παραίτιος. ἣ δὲ μὴ ὂν, ἀρχὴ μέν ἐστι φθορᾶς, καὶ κακίας, γήρως τε, καὶ ἀσθενείας, καίτοι καὶ ταῦτα τοῦ μὴ ὑπολείπειν τὴν γένεσιν αἴτιά εἰσιν, ὡς γὰρ εἴρηται τῷ Φιλοσόφῳ ἡ ἑτέρου φθορὰ, θατέρου ἐστὶ γένεσις.

## Πότερον ἡ ὕλη τοῦ εἴδους ἐφίεται.

Ἐλέγετο τῷ α. μορίῳ τοῦ α. τῶν Φυσικῶν, ἐφίεσθαι τῶν εἰδῶν ἡ ὕλη, ὡσπερανεὶ θῆλυ Ἄῤῥενος, καὶ αἰσχρὸν καλοῦ, τοῦτο δὲ ἀμφισβητεῖται παρὰ πολλοῖς, οἷς οὐδαμῶς ὀρέγεσθαι τῶν εἰδῶν ἡ ὕλη δοκεῖ. α. γὰρ ἡ ὕλη οὐκ ἔστι γνωστική, τὸ δὲ ἐφίεσθαι πάθος ἀποφαίνεται τῶν γνωστικῶν, Ἀριστοτέλης γ. περὶ ψυχῆς, τὰ φυτὰ μὴ ὀρέγεσθαι λέγων, ὡς μὴ γιγνώσκοντα, β. γ. περὶ ψυχῆς, ἡ ὄρεξις οἷον κίνησις ἐστὶ τοῦ ὀρεγομένου, ἡ δὲ ὕλη πάντως ἀκίνητος ὁμολογεῖ-



Ε.ΥΑ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ται, ἆρ᾽ οὐκ ὀρθῶς ὀρέγεσθαι λέγεται. γ΄. τῶν μὲν παρόντων εἰδῶν οὐκ ἂν ὀρέγοιτο ἡ ὕλη ὡς ἥκιστα τούτων ἐστερημένη, τῶν δὲ ἀπόντων πῶς ἂν ἐφίεσθαι δύναιτο μὴ γινώσκουσα ταῦτα; δ΄. ἡ ἐξ ἴσου πάντων ὀρέγεται, ἢ θάτερον ἑτέρου μᾶλλον. καὶ εἰ μὲν τὸ πρῶτον οὐδὲν ἂν συμβάλλοιτο ἡ τοιάδε ἔφεσις εἰς ἀποδοχὴν τῶν κατὰ μέρος εἰδῶν, εἰ δὲ τὸ β΄. οὐκ ἔστι τὴν αἰτίαν ἀποδοῦναι, δι᾽ ἣν ἡ ὕλη πάσης οὖσα γυμνὴ διαθέσεως τοῦδε μᾶλλον, ἢ τοῦδε τῶν εἰδῶν ὀρέγεται. τελευταῖον οὔτε καθ᾽ ἑαυτὸ, οὔτε κατὰ συμβεβηκὸς ὀρέγεται τῶν εἰδῶν, καὶ γὰρ καθ᾽ ἑαυτὴν θεωρουμένη οὐχ ὡς ἡνωμένη τῇ στερήσει γινώσκεται, ἀλλ᾽ οὐδὲ κατὰ συμβεβηκὸς διὰ τὴν ἐν αὐτῇ στέρησιν, τοῦτο γὰρ ἀντίκειται τῷ Φιλοσόφῳ ἀρχὴν καθ᾽ ἑαυτὸ τὴν ὕλην διδάσκοντι, καὶ μὴ κατὰ συμβεβηκός.

Ἡ δὲ ἐναντία δόξα οἰκεία ἐστὶ τοῦ Φιλοσόφου, πρώτῳ τῶν Φυσικῶν, μορίῳ πα΄. ταύτην ἀριδήλως ἀποφαίνεται καὶ δείκνυσιν ἐκ τῆς μεταβολῆς τῶν πραγμάτων, ὄντος γάρ φησι τινὸς θείου καὶ ἀγαθοῦ καὶ ἐφετοῦ, ἔσται καὶ τὸ ἐναντίον αὐτῷ, (ταῦτα δὲ τὸ εἶδος καὶ ἡ στέρησις) ἔτι δὲ ὃ πέφυκεν ἐφίεσθαι καὶ ὀρέγεσθαι αὐτοῦ κατὰ τὴν αὐτοῦ φύσιν. τὸ οὖν εἶδος αὐτὸ ἑαυτοῦ οὐχ οἷόν τε ἐφίεσθαι διὰ τὸ μὴ εἶναι ἐνδεὲς, ἀλλ᾽ οὔτε τὸ ἐναντίον, καὶ ἡ στέρησις, φθαρτικὰ γὰρ ἀλλήλων τὰ ἐναντία, ἀλλ᾽ οὐκ ὀρεκτικὰ, ἀλλὰ τοῦτο ἐστὶν ἡ ὕλη ὡσπερανεὶ θῆλυ ἄρρενος, καὶ αἰσχρὸν καλοῦ. Εἰς ἀναίρεσιν οὖν τῆς ἀμφισβητήσεως ταύτης, δεῖ εἰδέναι ὅτι πολλαπλάσιος ἐστὶν ἡ ἔφεσις, οὐχ ἡ αὐτὴ ἀπαραλλάκτως τοῖς πράγμασι προσήκουσα. ἐφ᾽ ὅσον οὖν εἰς τὴν παροῦσαν ἀνήκει θεωρίαν διττή ἐστιν, ἡ μὲν ἀπὸ τῆς γνώσεως ἀνακύπτουσα, καὶ τοῖς ζώοις ἰδιάζουσα. ἡ δὲ ἔμφυτος οὖσα τοῖς πράγμασι, καὶ μηδεμιᾶς ἐξήρτηται λήψεως τῶν ἀντικειμένων, ἥτις φυσική ἐστιν, καὶ ἡ τοῖς εἴδεσι παρέπεται οἷον ὁρμή τις οὖσα τούτων καὶ ῥοπὴ πρὸς τὴν αὐτῶν τελειότητα, καθ᾽ ἣν φαμὲν, τοῦ μὲν ἄνω ὀρέγεσθαι τὰ κοῦφα, τοῦ δὲ κάτω τὰ βαρέα, ἡ τῇ τῶν πραγμάτων φύσει παρακολουθεῖ εἴς τι τέλος ὡρισμένον, καθ᾽ ἣν φαμὲν πάντα τὰ πρὸς τὸ τέλος αὐτοῦ δὴ τοῦ τέλους ὀρέγεσθαι, τοιαύτην οὖν ἔφεσιν καὶ ἐν τῇ ὕλῃ τιθέμεθα, ἥτις δεκτικὴ τῶν εἰδῶν οὖσα, καὶ πεφυκυῖα παρὰ τούτων ὁρίζεσθαι καὶ τῆς τῶν ὄντων τάξεως μετασχεῖν καὶ καλλονῆς, καλῶς λέγεται τῶν εἰδῶν ἐφίεσθαι, τοῦ μὲν γὰρ εἴδους ἀγαθοῦ τε ὄντος καὶ ἐφετοῦ, τῆς δὲ ὕλης δεκτικῆς τε καὶ τελειοῦσθαι παρὰ τοῦ ἀγαθοῦ δυναμένης, ὀρθῶς λέγεται τῶν εἰδῶν ἐφίεσθαι, ἕκαστον γὰρ τῆς ἑαυτοῦ τελειότητος ὡς ἐνὶ γλίχεται. Ἔτι δὲ ἀνάγκη ἐστὶν εἰδέναι τὴν ἐν ὕλῃ τῶν εἰδῶν ἔφεσιν διττὴν εἶναι. τὴν μὲν τῆς πρώτης κοινήν τε οὖσαν καὶ ἀδιάφορον, τὴν δὲ τῆς προσεχοῦς τῶν ἐνυ-

παρ-

ὑπάρχοντι εἴδει παρεπομένην, καὶ ταῖς διαθέσεσι τοῦ μέλλοντος ἐπιγίνεσθαι. οἷον τὰ ἐν γυναιξὶ καταμήνια εἰς τροφὴν φιλεῖ μεταβάλλεσθαι τοῦ ἐμβρύου. ἐξ ὅτου δὴ φανερῶς ἐξελέγχονται, ὅσοι ἁπλῶς πᾶσαν ἔφεσιν ἐκ τοῦ προηγουμένου εἴδους ἐξάνθειν λέγουσιν. ἔτι δὲ κἀκεῖνο ἄξιον ἐπιστάσεως ὅτι τῆς τῶν φύσιν ἐχόντων ὕλης ἐφιεμένης ἀεὶ τῶν εἰδῶν, κατὰ φύσιν λέγεται πᾶσα μεταβολὴ τοῦ εἴδους ἐν τῇ ὕλῃ, ἐν δὲ τῇ κατὰ τέχνην ὕλῃ οὐκ ἔστιν ἡ τοιαύτη ὄρεξις, οὐ γὰρ ἐκ φύσεως αὐτῆς ὥρμηται εἰς ὑποδοχὴν τῶν τοιούτων εἰδῶν. διὸ καὶ ἡ τοῦ κατὰ τέχνην εἴδους γένεσις βίαιος εἴρηται τῷ Ἀβερρόει καλῶς. εἰ δέ τις ἐρωτῴη πόθεν αὖ ἡ τοιαύτη πρόεισιν ἔφεσις ἐν τῇ ὕλῃ, ἐπιστάσθω ὅτι οὐκ ἔστι τις κίνησις, ἀλλ' ἢ μόνον ἐπιτηδειότης τις ἐν ὕλῃ, καὶ ἐπιτηδειότης, ὥστε γίνεσθαι τόδε, ἢ τόδε παρεπομένη τῇ τῆς ὕλης φύσει ὡς ἐπιδεκτικῷ πάσης μορφῆς. ἔστι δὲ ἡ τοιαύτη ἔφεσις ταυτὸν τῇ τῆς ὕλης δυνάμει λόγῳ διακρινομένη. ἐφ' ὅσον ἡ ὕλη ἐφίεσθαι λέγεται. ὡς οἷα τε οὖσα πρότερον ὑποδέχεσθαι τὰ εἴδη, οὐ μὴν ἐξ ἐναντίας, προηγεῖται γὰρ ἀεὶ τῆς Ἐφέσεως ἡ δύναμις. λέγεται δὲ καὶ τῆς στερήσεως ἐκρυῆναι τὴν τοιαύτην ἔφεσιν, οὐχ ὡς αἰτίας, οὐ γὰρ παρεκτικόν ἐστι καθ' ἑαυτὸ τινὸς ἡ ἀπουσία καὶ ἔλλειψις, ἀλλ' ὅτι τῶν ἀπόντων ἐστὶν ἡ ἔφεσις. Τελευταῖον εἴ τις πυνθάνοιτο, τίνος ἕνεκα ἡ στέρησις οὐ λέγεται τοῦ εἴδους ἐφίεσθαι, ὡσπερανεὶ καλοῦ τὸ αἰσχρόν, ῥᾳδίως ἡ ἀπάντησις ἐκ τοῦ Φιλοσόφου, μὴ ὂν γὰρ ἡ στέρησις, καὶ κακοποιόν, τὸ δὲ μὴ ὂν οὐκ ἐφίεται τοῦ ὄντος, ὡς γὰρ εἴρηται τῷ Φιλοσόφῳ οὐδὲν ἐφίεται τῆς ἑαυτοῦ φθορᾶς.

## Ἀναίρεσις τῶν ἀντικειμένων λόγων.

ΕΚ τῶν εἰρημένων οὖν ῥᾳδίως αὖτις ἐπιλύσαιτο τοὺς ἐναντίους λόγους, πρὸς μὲν τὸ πρῶτον εἰπών, ὅτι οὐ μετὰ γνώσεως τῶν εἰδῶν ἡ ὕλη ἐφίεται, ἀλλ' ἐκ φύσεως αὐτῆς. πρὸς δὲ τὸ β. ὅτι ἡ τῆς ὕλης ἔφεσις οὐκ ἔστι κίνησις, κίνησις γὰρ ἐλέγετο τῷ Φιλοσόφῳ ἡ μετὰ λόγου καὶ γνώσεως ὄρεξις. πρὸς δὲ τὸ τρίτον ὅτι ἡ ὕλη τῶν μὲν ἀπόντων εἰδῶν ἐφίεται, ὡς δεκτικὴ τούτων. τοῖς δὲ παροῦσι στέργει καὶ σώζει ταῦτα, πρὶν ἢ τῶν ἑτέρου διαθέσεων ἀπολαύσει, εἰ δέ τις εἴπῃ, ὅτι ἐχρῆν αὖ μᾶλλον τοῦ συνθέτου τὴν ὕλην ἐφίεσθαι ὡς οὖσαν ἀρχὴν τούτου καὶ συναίτιον. ῥητέον ὅτι τοῦ μὲν εἴδους ἡ ὕλη ἐφίεται ὡς τοῦ οὗ ἕνεκα, ὡς ᾧ δὲ τοῦ συνθέτου, τούτου γὰρ ἡ τελείωσις διὰ τοῦ εἴδους λαμβάνεται. πρὸς δὲ τὸ δ'. ἀπαντητέον, τὴν μὲν προσεχῆ ὕλην τοῦ εἴδους ἐφίεσθαι μᾶλλον εἰς ὃ διατέθειται, τὴν δὲ πόῤῥω καὶ κοινὴν τῶν



Ε.Υ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

εἰδῶν ἁπάντων ἀδιορίστως ὀρέγεσθαι. καί τοι τοῖς ἐπιβλέψασι πρὸς τὴν τοῦ παντὸς τάξιν εἰκὸς ἂν δόξειε τὴν πρώτην ὕλην πρῶτον μὲν ὀρέγεσθαι τῶν στοιχειωδῶν εἰδῶν, μετὰ δὲ ταῦτα τῶν λοιπῶν ἁπάντων. πρὸς δὲ τὸ τελευταῖον διαιρέσει χρῆσθαι προσήκει. δοκεῖ γὰρ ἀμφίβολα τὰ παρὰ τοῦ Φιλοσόφου περὶ τούτου λεγόμενα, πῇ μὲν γὰρ κατὰ φύσιν ὀρέγεσθαι τοῦ εἴδους τὴν ὕλην ἀποφαίνεται, ὥστε καὶ καθ' αὑτό. πῇ δὲ ὡσπερανεὶ θῆλυ ἄρρενος, τοῦτο δὲ ἐστὶ κατὰ συμβεβηκός. θῆλυ γὰρ καὶ αἰσχρὸν ἡ ὕλη λέγεται διὰ τὴν ἐν αὐτῇ στέρησιν. ἐμπεδοῦται δὲ τοῦτ' αὐτό, ὅτι ἡ μὲν ὕλη δύναμίς ἐστι, τὸ δὲ εἶδος ἐνέργεια, καὶ ἀλλήλοις ἀντικεῖσθαι καθομολογεῖται. τὰ δὲ ἐναντία ἥκιστα τῶν ἐναντίων ἐφίεσθαι δείκνυται τῷ Φιλοσόφῳ, ἐκ τοῦ μηδὲν ὀρέγεσθαι τῆς οἰκείας αὐτοῦ φθορᾶς, φθαρτικὰ δὲ ἀλλήλων εἰσὶ τἀναντία. εἰς ἐπίλυσιν δὲ τούτου εἰδέναι χρὴ ὅτι πρὸς ἔφεσιν ἀναγκαῖα, τό, τε ὀρεγόμενον, καὶ ἡ τοῦ ἐφετοῦ στέρησις, τοῦ μὲν εἴδους ὀρεγομένη ὑπάρχει ἡ ὕλη, ὡς ἄν τε δὴ δεκτικὴ τῶν εἰδῶν καθ' αὑτό, καὶ μὴ κατὰ συμβεβηκός, ἐπειδὴ δὲ συμβαίνει τῷ ὀρεγομένῳ ἡ στέρησις ὀρθῶς λέγεται τὴν ὕλην ἐφίεσθαι τῶν εἰδῶν ὡς θῆλυ ἄρρενος. ὅθεν ὁ Φιλόσοφος ἁπλῶς θεωρῶν τὴν ὕλην, ὡς οἵαν τε εἰδοποιεῖσθαι, κατ' ὀρέγεσθαί φησι τοῦ εἴδους, διὰ δὲ τὴν ἐπισυμβαίνουσαν αὐτῇ στέρησιν ἐφίεσθαι μὲν ἀλλ' ὡσανεὶ καλοῦ αἰσχρὸν εἴρηκε. ζητεῖται πρὸς τοῖς εἰρημένοις, πότερον ἡ ὕλη ἀπείρων εἰδῶν ὀρέγεται, ἢ οὔ; εἰ τοίνυν περὶ τοῦ κατὰ διαδοχὴν ἀπείρου ὁ λόγος. ῥητέον ὅτι καθάπερ ἡ ὕλη κατὰ διαδοχὴν δεκτική ἐστιν ἀπείρων εἰδῶν, οὕτω τι καὶ εἰδῶν ἀπείρων ἐφίεται κατὰ διαδοχήν, εἰ δὲ περὶ τοῦ κατ' ἐνέργειαν ἀπείρου, φανερόν ἐστιν, ὅτι ἐν τῇ ὕλῃ οὐκ ἔστι συνιδεῖν τοιαύτην τινὰ τῆς ἐφέσεως ἀπειρίαν, οὐ γὰρ ὁμοῦ δεκτική ἐστι τῶν εἰδῶν ἡ ὕλη. Ἔτι δὲ ζητεῖται πότερον καὶ τὸ εἶδος ἐφίεται τῆς ὕλης, ὥσπερ θήλεως ἄρρεν. ἐπειδὴ τοίνυν λόγον ἔχει τέλους ἀεὶ τὰ εἴδη, οὐκ ἐφίεται μὲν ἀλλ' ἐφετά εἰσιν. καίτοι αὐτὸ δὴ τὸ ἐνυπάρχον εἶδος οὐκ ἄτοπον ἐφίεσθαι τῆς ὕλης ὡς οὔσης αὐτοῦ σωστικῆς, φύσει γὰρ ἕκαστον τῆς οἰκείας ἐφίεται σωτηρίας.

## Πότερον ἡ ὕλη γεννητὴ ἐστὶ καὶ φθαρτή;

Ὅπως αὖ τὴν τῆς ὕλης φύσιν ἀκριβῶς κατανοήσωμεν, ἀνάγκη σκέψασθαι διὰ βραχέων. πότερον ἡ ὕλη ἀγέννητός ἐστι, καὶ ἄφθαρτος δοκεῖ γάρ τισι καθάπερ τὰ εἴδη, οὕτω καὶ τὴν ὕλην εἶναι φθαρτήν, τῶν γὰρ ἐναντίων ὁ αὐτός φασι λόγος. ἔτι δὲ γ'. περὶ Οὐρανοῦ, μορίῳ ξα'. τῶν μὲν ἀιδίων αἱ ἀρχαὶ ἀίδιοι, φθαρταὶ δὲ τῶν φθαρτῶν



ΙΩΑΝΝΙΝΑ 2006

λέγονται, ἔστι δὲ ἡ ὕλη τῶν φθαρτῶν ἀρχή, φθαρτὴ ἄρα. πρὸς τούτοις δεκάτῳ τῶν μετὰ τὰ Φυσικά, Ὑπερφέρειν λέγεται τῶν φθαρτῶν τὰ ἀΐδια. εἰ δὲ ἡ ὕλη ἀΐδιός ἐστιν, ὑπερτερεῖν αὖ τῶν εἰδῶν, ἐν ῥοῇ τὸ εἶναι ἐχόντων. ἀλλ᾽ ἵνα καθ᾽ εἱρμὸν ἡμῖν ὁ λόγος χωρήσῃ, φέρε δὴ πρῶτον ἴδωμεν τί ἐστι πλάσις. ταύτης γὰρ οὔσης δυνατῆς, ἐξ ἀνάγκης ἕπεται γεγονῆσθαι ποτὲ τὴν ὕλην, εἰ δὲ τὸν τοιοῦτον τρόπον τῆς γενέσεως ἐς τὸ παντελὲς ἄγνωστον ὑπάρξαι τῷ Φιλοσόφῳ δειχθήσεται, ὁμοίως δὲ καὶ πᾶσι τοῖς καθιδρυμένοις τῷ θεμελίῳ τῆς φυσικῆς γνώσεως θαυμάζειν ἄξιον, τῶν οἰομένων γεννητὴν εἶναι καὶ φθαρτὴν τὴν ὕλην. Πέντε τοίνυν περὶ τῆς τῶν πραγμάτων γενέσεως δόξαι τεθρύλληνται, ὧν ἡ μὲν ἀναιρεῖ πᾶσαν γένεσιν, τὸ ὂν ἓν τε καὶ ἀκίνητον πρεσβεύουσα, ἥτις ἀπονέμεται Μελίσσῳ καὶ Παρμενίδῃ. Ἡ δὲ τὴν γένεσιν διάκρισιν καὶ σύγκρισιν εἶναι βούλεται. ὥστε μηδὲν γενέσθαι ἁπλῶς, ἀλλὰ μόνον ἐκ τοῦ ἀφανοῦς φανερόν, ἣν Ἀναξαγόρας ἐδίδασκε καὶ ἄλλοι συχνοί. Ἡ δὲ τὰ ἐν τῇ φύσει εἴδη παρὰ τοῦ προϊσταμένου τῶν ὑπὸ σελήνην ἁπάντων νοεροῦ εἴδους, ἐκ τοῦ μηδενὸς προάγεσθαι παρεγγυᾶται, ἣν ἐφαντάσθησαν ἔνιοι τῶν Ἀῤῥάβων. Ἡ δὲ τοῦ Ἀριστοτέλους ἐστίν, ὅστις ἐκ τῆς ὕλης γίγνεσθαι τὰ εἴδη τῇ τῶν ποιούντων ἐνεργείᾳ διδάσκει. Ἡ δὲ τελευταία θαυμαστή τε ἐστὶ καὶ πᾶσαν ἔννοιαν ὑπερβάλλουσα, ἣν ἄνδρες τινὲς θεορρήμονες οὐ μόνον ταῖς γραφικαῖς ῥήσεσι διαβεβαιοῦσιν, ἀλλὰ καὶ λόγοις φυσικοῖς ἐμπεδῶσαι πειρῶνται, καὶ λεληθότες ἑαυτοὺς καθαιροῦσι τῆς ὑπεροχῆς τὰ ἀπόρρητα τοῦ Θεοῦ μυστήρια, αὐτόθεν ἐκφανῆ διδάσκοντες, ἀλλὰ μὴ μόνον ἐρηρεῖσθαι τῇ τοῦ φύσαντος παντοκρατορικῇ δυνάμει, τοιγαροῦν ἡ ἄφατος γένεσις τοῦ παντός, ἣν ὀνόματι Θεολογικῷ πλάσιν ὀνομάζουσιν, ἐν πολλοῖς τοῖς κατὰ φύσιν διενήνοχε γενέσεως. ἐν ταύτῃ γὰρ ἀνάγκη πρῶτον ὑποκεῖσθαί τι ἐξ οὗ ἐνυπάρχοντος γίγνεται τὸ γιγνόμενον. δεύτερον ὡς ἐξ οὗ ὅρον προηγεῖσθαι τὴν στέρησιν ἐν ὑποκειμένῳ δεκτικῷ. τρίτον προκεῖσθαι ὡς πρὸς ὃν ὅρον τὰ εἴδη σωματικά τε ὄντα καὶ φθαρτά, τῆς γὰρ κατὰ φύσιν γενέσεως ὅροι τὰ ἔνυλα εἴδη. τέταρτον περαίνεσθαι τὴν γένεσιν διὰ κινήσεως. τὸ γὰρ ἐν ὑποκειμένῳ εἶδος διὰ κινήσεως ἐξωθεῖται, καὶ τῷ μέλλοντι χώραν παρέχει. πέμπτον, χρόνον τε καὶ τόπον συνεννοῆσθαι τῇ γενέσει χρεών. ἡ μὲν γὰρ γένεσις οὐκ ἔστιν ἄνευ κινήσεως, ἀριθμὸς δὲ τῆς κινήσεως ὁ χρόνος. ἐν τόπῳ δέ ἐστι τὸ γινόμενον, ὅτι οὐκ ἄνευ εἴδους ἡ ὕλη, ἀλλὰ σῶμά τε ἐστὶν ὁλόκληρον καὶ ἐν τόπῳ. ἕκτον, ἀνάγκη τῆς κατὰ φύσιν γενέσεως διττὴν εἶναι τὴν αἰτίαν. τὴν μὲν καθόλου, τὴν δὲ κατὰ μέρος. οὐ γὰρ ἀπόχρη εἰς γένεσιν τὸ καθόλου καὶ κοινὸν αἴτιον ἀδιόριστον ὂν καὶ ἀδιάφορον, οὐδὲ τοῦδε μᾶλλον, ἢ τοῦδε γεννητικόν.

ἀλλ' οὐδὲ τὸ κατὰ μέρος ἱκανὸν, ὡς κινοῦν ἀεὶ κινούμενον ὑπὸ τοῦ καθόλου, Ἥλιος γὰρ καὶ ἄνθρωπος γεννᾷ ἄνθρωπον. τούτων δὲ τῶν εἰς γένεσιν ἀναγκαίων τὴν κατὰ φύσιν οὐθὲν ἂν εὕροι τις ἐπὶ τῆς πλάσεως, καὶ γὰρ ἐκ μηδενὸς οὖσα φασὶν, οὐ ζητεῖ ὑποκείμενον, ἀλλ' οὔτε στέρησιν, ὡς οὖσαν ἀεὶ ἐν ὑποκειμένῳ, οὔτε κίνησιν, καὶ αὕτη γὰρ ἐντελέχεια τοῦ κινητοῦ, εἰ δὲ μὴ κίνησιν, οὔτε χρόνον. οὔτε μὴν ἐπὶ τῆς πλάσεως προϋπάρξει τὰ κατὰ μέρος αἴτια. ταῦτα γὰρ ἀεὶ διὰ κινήσεως ἐνεργεῖ. διαφέρειν δὲ καὶ κατὰ τὸν ὅρον φασὶ τῆς γενέσεως τὴν πλάσιν. οὐ γὰρ ἀεὶ εἶδος ἔνυλον ἐστὶν ὁ τῆς γενέσεως ὅρος, πλάττεται γὰρ καὶ τὰ ἄυλα. ἐκ τούτων οὖν ῥᾳδίως αὐτις συναρμόσειε τὸν τῆς πλάσεως ὁρισμόν. ὅτι ἐστὶ παραγωγὴ πράγματος ὑπὸ Θεοῦ ἐκ μηδενός. τούτων οὕτως ὑποκειμένων δῆλον ἐστὶν ἥκιστα τῆς τοιαύτης παραγωγῆς ἐν περινοίᾳ γενέσθαι τὸν Φιλόσοφον, πρώτῳ γὰρ Φυσικῶν, μορίῳ λγ', καὶ τετάρτῳ τὴν κοινὴν δόξαν τῶν Φιλοσόφων, ὡς οὐδὲν ἐκ τοῦ μὴ ὄντος γίγνεται ἐπαινεῖ. περὶ γὰρ ταύτης φησὶν ὁμογνωμονοῦσι τῆς δόξης ἅπαντες οἱ περὶ φύσεως, ἔτι δὲ μορίῳ μγ'. οὐδὲν φησὶν ἁπάντων τῶν ὄντων, οὔτε ποιεῖν πέφυκεν οὔτε πάσχειν τὸ τυχὸν ὑπὸ τοῦ τυχόντος, οὐδὲ γίγνεται ὁτιοῦν ἐξ ὁτουοῦν, ἀλλ' ἐκ τοῦ ἐναντίου, καὶ ζ'. τῶν μετὰ τὰ φυσικὰ, μορίῳ κβ'. τὸ γιγνόμενον ἀεὶ ἔκ τινος γίγνεσθαι παρεγγυᾶται. δεύτερον ἀείποτε ὁ Φιλόσοφος τὸ ποιοῦν ὁρίζεται τὴν ἀρχὴν εἶναι κινήσεως. τοῦτο δὲ οὐδέ ποτ' ἂν ἐνεργείη δίχα ὑποκειμένου, καὶ γὰρ ἡ κίνησις τοῦ κινητοῦ, ᾗ κινητὸν, ἐστὶν ἐντελέχεια. οὐδέποτε δὲ τὸν τῆς τοιαύτης παραγωγῆς ἐκ τοῦ μὴ ὄντος τρόπον, εὕροι αὐτις παρὰ τῷ Φιλοσόφῳ. τρίτον ἐν τῷ ε'. τῆς πρώτης Φιλοσοφίας, μορίῳ ιζ'. τὴν ἐνεργητικὴν δύναμιν τῇ πρὸς τὴν παθητικὴν διαφορᾷ ὁρίζεται, ἀρχὴν λέγων ταύτην εἶναι τὸ μεταβάλλειν ἄλλο ἢ ἄλλο. ἔτι δὲ ἀεὶ τὸ ποιοῦν πρὸς τὸ πάσχον θεωρεῖ, ὥστε σαφῶς ἁμαρτάνειν τῆς Περιπατητικῆς Φιλοσοφίας ὅσοι πλάσιν τινὰ ξένην καὶ ἄναρχον κατὰ τὴν Ἀριστοτελικὴν ὑπομιμνήσκουσι διδασκαλίαν. Τελευταῖον πᾶσαν γένεσιν ὁ Φιλόσοφος ἐν ὑποκειμένῳ βούλεται εἶναι. καὶ ἐξ ὅρου εἰς ὅρον μετὰ κινήσεώς τε καὶ χρόνου, καὶ τόπου, καὶ προηγουμένου τῶν κατὰ μέρος αἰτίων. ταῦτα δὲ πάντα σαφῶς ἀναιρεῖ τὴν πλάσιν. πρόσθες ὅτι ἄπειρον δύναμιν οὐκ ἔγνωκεν ὁ Φιλόσοφος ἐνεργείᾳ, οἵαν οἱ Θεολόγοι φασὶν εἶναι, τὴν ἐκ μηδενὸς προαγωγόν. οὐδὲ βούλεται παρὰ τῆς νοερᾶς οὐσίας γίγνεσθαί τι δίχα τῶν προσεχῶν αἰτίων. μᾶλλον δὲ τελικὸν αἴτιον τίθησι τὸν Θεὸν οὐ κατὰ μετάβασιν ἐνεργοῦντα, ἀλλ' ἐν ἑαυτῷ ἀναπαυόμενον, ἅπερ ἐναντία σαφῶς ἐστὶ τῇ κατὰ τὰς γραφὰς κτίσει τοῦ παντός. ἀλλ' ἵνα καὶ τῶν τοῦ Ἀριστοτέλους λογίων ἁψώμεθα, οἷς ἐκεῖνος ἐχρήσατο εἰς σύστασιν

τῆς

ΙΩΑΝΝΙΝΑ 2006

τῆς τοῦ παντὸς ἀϊδιότητος, πρώτῳ μὲν Φυσικῶν, μορίῳ πβ. ἀΐδιον εἶναι τὴν ὕλην οὕτω δείκνυσιν. ὡς γάρ φησι κατὰ τὴν δύναμιν οὐ καθ' αὑτὸ, (φθείρεται δηλαδὴ καὶ γίγνεται) ἀλλ' ἄφθαρτον καὶ ἀγέννητον ἀνάγκη αὐτὴν εἶναι, εἴτε γὰρ ἐγίγνετο ὑποκεῖσθαί τι δεῖ πρῶτον τὸ ἐξ οὗ ἐνυπάρχοντος, τοῦτο δέ ἐστιν αὐτὴ ἡ φύσις, ὥστε ἔσται πρὶν γενέσθαι. ὡσαύτως καὶ ἡ τῶν φυσικῶν τουτέστι τοῦ χρόνου καὶ τῆς κινήσεως ἀϊδιότητα δηλοῖ, εἰ γάρ φησιν οὐκ ἦσαν ποτὲ, ἀλλ' ἐγένοντο ἦν αὖ πρὸ τῆς κινήσεως καὶ τοῦ χρόνου, καὶ χρόνος καὶ κίνησις. τὸ γὰρ γιγνόμενον ἐν χρόνῳ τε γίγνεται καὶ διὰ κινήσεως, ἵνα μὴ τοίνυν εἰς ἄτοπον ἀντίφασιν ὁ λόγος ἐξοκείλῃ, δεῖν οἴεται ἀΐδιον εἶναι νομίζειν τὴν κίνησιν καὶ τὸν χρόνον. ἐπειδὴ τοιγαροῦν σαφῶς οὕτως ὁ Φιλόσοφος τὸ τῆς ὕλης κινήσεως καὶ χρόνου ἄναρχόν τε καὶ ἀτελεύτητον ἐκφαίνει, τίς οὕτω πεπήρωται τὰ τοῦ νοὸς ὄμματα ὥστε οἴεσθαι τὸν ἀνδρῶν ἁπάντων ἄριστον ἐπὶ Φιλοσοφίᾳ αὐτὸν ἑαυτῷ φρονεῖν ἐναντία, καὶ γνῶναι τὸν τῆς κτίσεως λόγον, ὃν οὐδὲ ἡμεῖς ἐπιστάμεθα, ἀλλ' εὐσεβῶς ὁμολογοῦμεν. ἔτι δὲ ά. περὶ Οὐρανοῦ κεφ. ί. ἀναιρεῖ τὴν τοῦ Πλάτωνος δόξαν, ὡς ἀρχὴν ἔχοντος τοῦ παντὸς, ἀλλὰ μὴ τελευτὴν, τὸ γὰρ γενητὸν καὶ φθαρτὸν εἶναι δείκνυσιν. ἔστι γὰρ τὸ γενητὸν ἐξ ὕλης, τὸ δὲ ἐξ ὕλης ἔστιν ὅτε φθαρήσεται. ὁμοίως οὐκ αὖ ἀληθὲς εἴη τὸ λεγόμενον ἐν τῇ ά. Φιλοσοφίᾳ βιβλίῳ ζ'. καὶ ιβ'. μὴ δύνασθαι τὰ εἴδη παράγεσθαι παρὰ τῶν κεχωρισμένων οὐσιῶν. ἔστι δὲ οὐ μόνον ἀντίξους τῇ Περιπατητικῇ Φιλοσοφίᾳ, ἀλλὰ καὶ πάσης ἐπιστήμης ἀναιρετικὴ ἡ πλάσις, ἡ γὰρ ἄπειρος τοῦ Θεοῦ δύναμις ἢ αὐτεξουσίως, ἢ ἐξ ἀνάγκης ἐνεργεῖ, καὶ εἰ μὲν ἐξ ἀνάγκης καὶ τὰ γιγνόμενα ἄπειρα ἔσται. τοῦ δὲ ἀπείρου τίς ἂν ἐπιστήμην λάβοι; εἰ δὲ αὐτεξουσίως οὐδὲν αὖ φαίη τις περὶ τῶν οὕτω γιγνομένων, εἰ μὴ ὅτι οὕτως ἔδοξε, καὶ οὕτως ἠβουλήθη. Τούτου οὖν ἕνεκεν ἅπαντες οἱ περὶ φύσεως μάχονται κατὰ τῆς τοιαύτης παραγωγῆς οἷον Θεμίστιος, μορίῳ ς'. τοῦ ὀγδόου τῶν φυσικῶν, καὶ Σιμπλίκιος αὐτόθι τε καὶ ἐν τοῖς πρὸς φιλόπονον, ὥστε πάντως ἔκφυλον ἐστὶ τὸ δόγμα τοῦτο τῆς Περιπατητικῆς Φιλοσοφίας, οὐ μὴν ἀλλ' οὐδὲ ὁ Πλάτων ἀντίφθογγός ἐστι τῷ Φιλοσόφῳ, γενέσθαι γάρ φησιν ὑπὸ Θεοῦ τὸ πᾶν ὡς ἐξηρτημένον ἐκείνου κατὰ τὸ εἶναι, καὶ γὰρ κατὰ τὴν ἐκείνου διδασκαλίαν, ἥτε ὕλη καὶ ὁ δημιουργικὸς νοῦς ἀγένητοί εἰσι καὶ ἄφθαρτοι.



Ε. Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006